# Μεγάλη Δευτέρα

## Μνεία τῆς ὑπὸ τοῦ Κυρίου καταρασθείσης καὶ ξηρανθείσης συκῆς

## Ἰωσὴφ ὁ πάγκαλος



*Ἱ. Εἰκὼν ψηφιδωτὸ (ΙΔ´ αἰ.), Ἱ. Μ. Παναγίας τῆς Τατάρνας Εὐρυτανίας.*

**Τροπάριον.** Ἦχος πλ. δ´.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτός· καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα· ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥαθυμοῦντα. Βλέπε οὖν, ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν· διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

**Ἐξαποστειλάριον.** Ἦχος γ´.

Τὸν νυμφῶνα Σου βλέπω, Σωτήρ μου, κεκοσμημένον, καὶ ἔνδυμα οὐκ ἔχω, ἵνα εἰσέλθω ἐν αὐτῷ· λαμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς, Φωτοδότα, καὶ σῶσόν με.

**Κοντάκιον.** Ἦχος πλ. δ´.
Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὁ Ἰακὼβ ὠδύρετο, τοῦ Ἰωσὴφ τὴν στέρησιν, καὶ ὁ γενναῖος ἐκάθητο ἅρματι, ὡς βασιλεὺς τιμώμενος· τῆς Αἰγυπτίας γὰρ τότε ταῖς ἡδοναῖς μὴ δουλεύσας, ἀντεδοξάζετο παρὰ τοῦ βλέποντος τὰς τῶν ἀνθρώπων καρδίας, καὶ νέμοντος στέφος ἄφθαρτον.



*Τοιχογραφία (1779), Καθολικὸν Ἱ. Μ. Γρηγορίου Ἄθωνος.*

**Στίχοι εἰς τὸν πάγκαλον Ἰωσήφ.**

Σώφρων Ἰωσήφ, δίκαιος κράτωρ ὤφθη,
Καὶ σιτοδότης· ὢ καλῶν θημωνία.

**Ἕτεροι εἰς τὴν ξηρανθεῖσαν συκῆν.**

Τὴν συναγωγήν, συκῆν Χριστός, Ἑβραίων,
Καρπῶν ἄμοιρον πνευματικῶν εἰκάζων,
Ἀρᾷ ξηραίνει· ἧς φύγωμεν τὸ πάθος.

# Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Δευτέρᾳ

**Ἀπὸ** τῆς σήμερον ἄρχονται τὰ ἅγια πάθη τοῦ Σωτῆρος ἡμῶν· καὶ πρῶτον πάντων λαμβάνεται εἰς τύπον αὐτοῦ Ἰωσὴφ ὁ πάγκαλος. Ἦν δὲ οὗτος υἱὸς τοῦ Ἰακὼβ ἑνδέκατος· ὅστις φθονηθεὶς ὑπὸ τῶν ἰδίων ἀδελφῶν καὶ εἰς λάκκον βληθείς, εἶτα πωληθεὶς εἰς ἀλλοφύλους, καὶ ὑπ᾽ ἐκείνων πάλιν εἰς Αἴγυπτον, καὶ διὰ τὴν σωφροσύνην αὐτοῦ συκοφαντηθεὶς καὶ εἰς φυλακὴν καταδικασθείς, καὶ τελευταῖον ἐξαχθεὶς ἐκεῖθεν μετὰ δόξης πολλῆς καὶ τιμηθεὶς ὡς βασιλεύς, καὶ γενόμενος κύριος πάσης γῆς Αἰγύπτου καὶ σιτοδότης παντὸς τοῦ λαοῦ· διὰ τούτων πάντων ἐτύπωσεν εἰς ἑαυτὸν τὰ πάθη καὶ τὴν μετὰ ταῦτα δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εἰς τὴν μνήμην ταύτην τοῦ Ἰωσὴφ ἐπισυνάπτεται καὶ ἡ ἱστορία τῆς ὑπὸ τοῦ Κυρίου, κατὰ τὴν σήμερον τὸ πρωΐ, ιθ΄ Μαρτίου, καταραθείσης καὶ ξηρανθείσης συκῆς διὰ τὴν ἑαυτῆς ἀκαρπίαν. Εἰκόνιζε δὲ αὕτη τῶν Ἰουδαίων τὴν συναγωγήν, ἥτις, μὴ ἔχουσα τὸν ἀπαιτούμενον καρπὸν τῆς ἀρετῆς καὶ εὐσεβείας, ἐγυμνώθη πάσης χάριτος πνευματικῆς διὰ τῆς κατάρας.

❖



*Μικρογραφία (περὶ 1313), κώδ. 65, φ. 5α, Ἱ. Μ. Διονυσίου Ἄθωνος.*